Schol.^{1} u. l. βιάζεται Schol.^{2} **56** restituerunt Schnw. B. cf. Ariphr. hymn. εἰc Ὑγίειαν, Scol. Att. 7, 1 Fr. Huebner de Pluto (diss. Hal. 1914) p. 261 **2** νοῦcε βαρεῖα appellatur fr. 130 **57** **1 s** cf. Mimn. 1 **1** an Τίc? ἄτερ⟨θε⟩ Garrod **2 s** θνητῶν et ζηλωτὸc Ⓒ em. Steph. **3** cf. Wil. Versk. 426 **58** φηρὲc ἐc τὺ γὲ πύυρ (non πύιρ) Ⓒ (e testimoniis Egenolff et Ludwich [RhM. 35, 101. 38, 378]. cf. Wackern. IF. 2, 150 s [Sp.]) em. B. (qui πύϊρ) φῆρεc ἔcτυγ(ε)ον πύιρ Lob. Hi. de leone intellexit B. conlato Arist. hist. anim. 9, 44 p. 629^{b}, 21 πύϊρ Phrygibus usitatum esse docet Plat. Crat. 410^{a}. cf. Cr. Phil. 53 (1894) Suppl. p. 95 **59** cf. H. Fraen. GN 1924, 100^{3} ἐcχάτιον ci. Naeke **60** ἥδυμοc Ⓒ

[61.] ἐπ᾽ ἄλλης
ἥπτετο μὲν λύρας, ἥπτετο δὲ δάκρυα μείξας τοῖς κρούμασιν.

ΕΛΕΓΕΙΑ

62. (81) εἰ δ᾽ ἄρα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος, δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

63. (82) μηδὲν ἁμαρτεῖν ἐστι θεοῦ καὶ πάντα κατορθοῦν.

ΕΙΣ ΤΗΝ ΕΝ ΠΛΑΤΑΙΑΙΣ ΜΑΧΗΝ

64. (84) μέσσοι δ᾽, οἵ τ᾽ Ἐφύρην πολυπίδακα ναιετάοντες,

μον᾽ ... τερπνόν **61** Himer. or. 33 (ecl. 31) ap. H. Schenkl Herm. 46 (1911) 423 Σιμωνίδης ὁ Κεῖος Ἱέρωνα (-ων Ⓒ em. Wil.) πέμπων ἐκ Σικελίας ἐπ᾽ (ἀπ᾽ Ⓒ em. Wil.) ἄλλης γῆς ἥπτετο μὲν λύρας κτλ. **62** Ar. pac. 736 ss εἰ δ᾽ οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος κωμωιδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται, ἄξιος εἶναί φησ᾽ εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν. Schol. ad l. παρὰ τὰ Σιμωνίδου ἐκ τῶν Ἐλεγείων· εἰ δ᾽ ἄρα τιμῆσαι κτλ. temere contulit B. vitam Aeschyl. 8 p. 4 Wil. κατὰ δὲ ἐνίους ἐν τῶι εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείωι ἡσσηθεὶς Σιμωνίδηι (ἀπῆρεν Αἰσχύλος)· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον **63** Schol. ad Gregor. Naz. in Iulian. or. 2 p. 169[d] (ed. Bened.) ed. Piccolomini Herm. 6 (1872) 489 (cf. Piccolomini Estratti dai codici greci d. Bibl. Mediceo-Laurent. Pisae 1879) τὸ ἀναμάρτητον, φησίν, ὑπὲρ ἡμᾶς τοὺς ἀνθρώπους. τὸ δὲ μικρόν τι πταίσαντας ἐπανάγεσθαί τε καὶ διορθοῦσθαι ἀνθρώπων ἐστὶν καλῶν τε κἀγαθῶν. λέγει δὲ καὶ Σιμωνίδης (εἷς δ᾽ οὗτος τῶν θ᾽ λυρικῶν) ἐν ἐπιγράμματι ῥηθέντι αὐτῶι ἐπὶ τοῖς Μαραθῶνι πεσοῦσιν τῶν Ἀθηναίων τὸν στίχον τοῦτον· [1]

---

em. Buttm. **61** cf. Wil. S. S. 153, 2, qui carmen ab Himerio fictum esse censet γῆς del. Wil. debuit ἄλλας, ἅπτετο **62** ss de Simon. epigr. egit C. M. Bowra Early Greek Elegists Cambr. 1938 p. 173 ss **62** cf. Wil. S. S. 143 s **1** uerbum q. d. finitum ex disticho antecedenti ex Aristophanis auctoritate repetendum erat θυγατέρα Ⓒ em. Schnw. εἰ δ᾽ ἄρα τιμήσαι θυγάτηρ Διός legit Radermacher litteris ad me datis θ. Δ. Hom. H 50 Ἀχαιῶν ὅστις ἄριστος **1** s cf. fr. 118 cum adn. **2** ἐξετέλεσα Ⓒ em. Schnw. **63** elegiis reddidit B. cf. Hi. Phil. 48 (1889), 229 s Boas p. 136 de re u. fr. 4, 6 s fr. 66 **64** cf. Tyrt. 1, 68 ss Wil. S. S.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

παντοίης ἀρετῆς ἴδριες ἐν πολέμωι,

*

οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ, νέμοντες
οἱ⟨οι⟩ κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ᾽ εὐρεῖαν κληιδόνα καὶ πατέρων.

65. (136) Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει.
πέντε δὲ νῆας ἕλεν δήιων, ἕκτην δ᾽ ὑπὸ χειρός
ῥύσατο βαρβαρικῆς Δωρίδ᾽ ἁλισκομένην.

66. (87) Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

66ᴬ. ξύλα καὶ λάους ἐπιβάλλων

---

64 Plvt. malign. Herod. 42 p. 872ᵈ ἀλλὰ Κορινθίους γε καὶ τάξιν, ἣν ἐμάχοντο τοῖς βαρβάροις, καὶ τέλος, ἡλίκον ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ Πλαταιᾶσιν ἀγῶνος, ἔξεστι Σιμωνίδου πυθέσθαι γράφοντος ἐν τούτοις· [1—6]· ταῦτα γὰρ οὐχ οἷον ἐν Κορίνθωι διδάσκων οὐδ᾽ αἷσμα ποιῶν εἰς τὴν πόλιν, ἀλλ᾽ εἰς [ἄλλως δὲ Ϛ] τὰς πράξεις ἐκείνας Ἐλεγεῖα γράφων ἱστόρηκεν **65** Plvt. malign. Herod. 36 p. 869ᶜ τὸ Δημοκρίτου κατόρθωμα καὶ τὴν ἀριστείαν, ἣν ἐπιγράμματι Σιμωνίδης ἐδήλωσε· [1—4] **66** Stob. 1, 1 (ὅτι θεὸς δημιουργὸς τῶν ὄντων κτέ.), 6 p. 24 W. [FP] συνά (sscr. δ) [F] (ubi σιμωνίδου nomen corruptum latere censet Wachsmuth ad l.)· [1] **66ᴬ** Habro in Pap. Oxyrh. 1087 saec. I ex. a. Chr. ed. Grenfell et Hunt uol. VIII (1911) col. 2, 39 s p. 105

144, 2 Boas p. 53 **1** μέσσοισι u. l. γ᾽ ἔφυραν boni em. Schnw. Θ 47 al. Ἴδην . . . πολυπίδακα. cf. Hesych. s. u. ναιετ. Hom. 2 X 268 π. ἀρ. μιμνήισκεο Geffck. Epigr. 368 (Olympiae, saec. p. Chr. n. III), 4 παντοίης ἴδρις ἐὼν ἀρετῆς. cf. Eur. Med. 844 s Hesych. ἴδριες· ἔμπειροι **2 s** lacunam statuerunt editor. cf. Bergk ad l. **3** ss cf. H. J. Rose Simonides and Glaukos Cl. Rev. 47 (1933) 165 ss **3** Hom. B passim ἐνέμοντο de incolis **4** οἵ Ϛ οἱ⟨οι⟩ ego περ add. Hi., καὶ alii cf. fr. 51 et Antigenem **5 s** μάρτυν . . . ἀέθλων ἔθηκαν cum adn. **5** C 475 χρυσὸν τιμήεντα Θ 393 χρυσοῖο . . . τιμήεντος Mimn. 10, 7 χρυσοῦ τιμ. cf. Hesych. τιμήεντος· ἐντίμου in ἀέξειν cadit fr. 96, 1 **5 s** cf. fr. 51 M 214 κράτος . . . ἀέξειν, ubi Aristarch. ἐν ἄλλωι 'κλέος' **6** α 344 al. κλέος εὐρύ **65** cf. Wil. S. S. 144, 2, qui elegiis adtribuit **1** de Δ. cf. Herod. 8, 46 **66** cf. fr. 63 πάντως Ϛ em. Grotius φ. μ. ἔ. de tempore Philit. ap. Stob. 4, 56, 26 p. 1129 H. (fr. 1) **66ᴬ** cf. Corinn. fr. 4,

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ΕΠΙΓΡΑΜΜΑΤΑ

(ΠΑΙΓΝΙΑ)

67. (167) Τῆι ῥά ποτ᾽ Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρήικης ὀρνύμενος βορέης,
ἀνδρῶν δ᾽ ἀχλαίνων ἔδακεν φρένας, αὐτὰρ ἐκάμφθη
ζωὴ Πιερίην γῆν ἐπιεσσαμένη.
ἔν τις ἐμοὶ καὶ τῆς χεάτω μέρος· οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλωι πρόποσιν.

68. (171) οὐδὲ γὰρ ⟨οὐδ᾽⟩ εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

69. (172) Μειξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτός
δεξάμενοι βλεφάροισι Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

τὸ λάος, ἀφ᾽ οὗ φη(σι) Σιμωνίδης· [1] **67** Athen. 3, 125ᵉ Καλλίστρατος ἐν ζ′ Συμμείκτων φησίν, ὡς ἑστιώμενος παρά τισι Σιμωνίδης ὁ ποιητὴς ‘κραταιοῦ καύματος ὥραι’ καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῶι δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα· [1—6] **68** Athen. 14, 656ᵉ περὶ δὲ ‘λαγῶν’ Χαμαιλέων φησὶν ἐν τῶι Περὶ Σιμωνίδου [fr. 14 Koepke], ὡς δειπνῶν παρὰ τῶι Ἱέρωνι ὁ Σιμωνίδης οὐ παρατεθέντος αὐτῶι ἐπὶ τὴν τράπεζαν καθάπερ καὶ τοῖς ἄλλοις λαγωοῦ, ἀλλ᾽ ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος ἀπεσχεδίασεν· [1]. unde Evst. in Od. 1821, 37 **69** Athen. 10, 456ᵉ γριφώδη δ᾽ ἐστὶ καὶ Σιμωνίδηι ταῦτα πεποιημένα, ὥς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῶι Περὶ Σιμωνίδου [fr. 13 Koepke]· [1—4]. φασὶ δ᾽ οἱ μὲν ἐπί τινος τῶν ἀρχαίων ἀναθημάτων ἐν Χαλκίδι (ἐν χαλκεί⟨ωι τρίπο⟩δι Schultz)

---

33 **67** ss cf. C. M. Bowra l. c. ad 62 ss **67** cf. Wil. S. S. 142, 3 = RE XVIII 271, 23 ss **1** τῆι Casaub. τὴν Ⓒ, intellege niuem Ξ 359 αὐτῶι . . . μαλακὸν περὶ κῶμα κάλυψα **2** βορρέης A em. CE **3** Callim. hymn. 3 (Dian.), 115 ἀχλαίνοισι Ε 493 δάκε δὲ φρένας Ἕκτορι μῦθος fr. 37, 5 δακέθυμος ἰδρώς ἐκάμφθη Ⓒ ἐθάφθη Porson B. Hi-Cr. **4** γαῖαν ἐπεσσαμένη Wil. **5** χεέτω Ⓒ em. B. **68** cf. R. Hirzel Dialog 1, 145³. 170 Boas p. 116 οὐδ᾽ add. Mus. ex Ξ 33 s οὐδὲ γὰρ οὐδ᾽ εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας αἰγιαλὸς νῆας χαδέειν **69** ad rem cf. Reitz. Epigr. u. Skol. 115 ss RE I A 91, 5 Boas p. 116 **1** μειξ. nouom π. τ᾽ ἐρίφου A corr. C **2** ἠρί-

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

70. (173) Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον τῶι Πανοπηιάδηι δώσειν μέγα δεῖπνον Ἐπειῶι.

[71.] (174) Φοῖβον, ὃς ἀγεῖται ⟨τοῖς⟩ Τυνδαρίδηισιν ἀοιδῆς, ἁμέτεροι τέττιγες ἐπεστέψαντο χορωνῶι.

τοῦτ' ἐπιγεγράφθαι, πεποιῆσθαι δ' ἐν αὐτῶι τράγον καὶ δελφῖνα, περὶ ὧν εἶναι τὸν λόγον τοῦτον· οἱ δὲ εἰς ἐπιτόνιον ψαλτήριον δελφῖνα καὶ τράγον εἰργασμένον εἰρῆσθαι καὶ εἶναι τὸν βουφόνον καὶ τοῦ Διονύσου θεράποντα τὸν διθύραμβον. οἱ δέ φασιν ἐν Ἰουλίδι τὸν τῶι Διονύσωι θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει, πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν. τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν, ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῆι κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα· τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι, σχέτλιον δὲ ἰχθῦν τὸν καρκίνον, νυκτὸς δὲ παῖδα τὸν ὕπνον, βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν **70** Athen. 10, 456e πεποίηκε δὲ καὶ ἕτερον ἐπίγραμμα ὁ Σιμωνίδης, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν· [1. 2]. λέγεται δὲ ἐν τῆι Καρθαίαι διατρίβοντα αὐτὸν διδάσκειν τοὺς χορούς. εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῶι μακρὰν τῆς θαλάσσης. ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ τὸν Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη. ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειὸν διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῶι τοῦ Ἀπόλλωνος ἱερῶι τὸν Τρωϊκὸν μῦθον, ἐν ὧι ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν· [fr. 9]. ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῶι μὴ παραγινομένωι τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν παρέχειν τῶι ὄνωι χοίνικα κριθῶν. τοῦτ' οὖν κἂν τῶι ποιήματι λέγεσθαι, καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος ἄεθλον τὸν οὐκ ἐθέλοντα ἄιδειν, Πανοπηϊάδην [cf. Ψ 665] δὲ τὸν ὄνον, μέγα δὲ δεῖπνον τὴν χοίνικα τῶν κριθῶν Schol. V Ψ 665 ἐλεήσασα δὲ ἡ Ἀθηνᾶ ἐν τοῖς χορευταῖς φησι τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον ἀντὶ τοῦ· ὃς νίκην μοι περιποιῆσαι, τῶι Πανοπῆϊ δήλως μετὰ δεῖπνον Ἐπειῶι ζημίαν cf. Evst. in Il. 1323, 60 in Od. 1606, 60 Io. Sicel. rhet. gr. 6, 200 W. Syrian. in Hermog. I 36 R. (Rhet. gr. 7, 949 W.) **71** Athen. 15, 680d χορωνόν· Ἀπίων ἐν τῶι Περὶ τῆς Ῥωμαϊκῆς

σαντο A corr. C **3** διονύσοιο A corr. C **70** ad rem cf. ad fr. 69 et RE V A 1111 ss **71** cf. Boas p. 116 s RE V A 1113 ss Pratin. fr. 2 D. **1** φ. εσαγειται A corr. Wil. ⟨τοῖς⟩ add. B.

72. (88, 3) οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.

73. (86) _ ⏑ _ ⏑ οἶνον ἀμύντορα δυσφροσυνά⟨ω⟩ν

74. (165) Ἦν ἑκατὸν φιάλαι· δίχα ⟨δέ⟩ σφισιν _ ⏑ ⏑ _ ⏑

75. (176) _ ⏑ _ ⏑ _ ⏑ ὅ τοι χρόνος ὀξὺς ὀδόντας
καὶ πάντα ψήχει καὶ τὰ βιαιότατα.

---

76. (131) Ἦ μέγ᾽ Ἀθηναίοισι φόως γένεθ᾽, ἡνίκ᾽ Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ ⌊Ἁρμόδιος⌋.

_ ⏑ _ ⏑ _ ⏑ _ ⏑ _ ⏑ _ ⏑

[_ ἐν ἐλευθερίαι] ⌊πατρίδα γᾶν ἐθέτην⌋.

διαλέκτου φησὶν τὸν στέφανον πάλαι χορωνὸν καλούμενον ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῶι χρῆσθαι αὐτούς τε περικειμένους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου Ἐπιγράμμασιν ἰδεῖν ἔστιν οὕτως καλουμένου· [1. 2] **72** Athen. 1, 32ᶜ [1], ὁ Κεῖός φησι ποιητής. praecedit Callim. fr. 8, 15 s Pf. (= fr. eleg. adesp. 3 D.) Hesych. γίγαρτον· τῆς σταφυλῆς τὸ ἔνδον **73** Athen. 10, 447ᵃ οὐ δὲ πιὼν μὴ φοβηθῆις ὡς εἰς τοὐπίσω μέλλων καταπεσεῖσθαι· τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες· [1] **74** Herodian. π. μονήρ. λέξ. 2, 45, 2 II 950, 17 L. ἦν . . . καὶ πληθυντικῶς Σιμωνίδης ἐπὶ πρώτου προσώπου, ὡς καὶ ἐν Ἐπιγράμμασιν· [1]· ἀντὶ γὰρ τοῦ ‘ἦμεν’ ‘ἦν’ **75** Stob. 1, 8 (περὶ χρόνου οὐσίας κτέ.), 22 p. 97 W. [FP] Σιμωνίδου Ἐπιγραμμάτων· [1. 2] **76** Hephaest. 4 (π. ἀποθέσεως μέτρων),

---

1 s ἀοιδηςαναμετροι A corr. Hart. Schweigh. **1** ἀοιδᾶς Hart. ἀοιδᾶν B. **2** ad τέττ. cf. Pratin. l. c. **72** cf. Wil. SS. 211, 1 οὐδὲν ἀπ. Schweigh. B 361 οὔ τοι ἀπόβλητον ἔπος Γ 65 οὔ τοι ἀπόβλητ᾽ ἐστὶ θεῶν . . . δῶρα. cf. Hesych. et Et. Magn. s. ἀπόβλητον. Διον. i. δῶρον γίγ. Ar. pac. 634 **73** cf. Wil. SS. 211, 1 fr. 14 Hor. carm. 1, 7, 31 *uino pellite curas* δυσφροσυνᾶν Ⓒ em. B. Wil. **74** cf. Boas p. 111 s δὲ add. Lehrs an ⟨γὰρ⟩? **75** cf. fr. 5, 5 cum adn. et Wil. S. S. 211, 1 Boas p. 191 s **1** οὖτοι P Ou. met. 15, 235 *dentibus aeui* **2** ψύχει (-η) Ⓒ em. B., idem πάντα καταψήχει praeter necessitatem cf. Hesych. ψήχει· καταμάσσει. τρίβει. ξύει. σμήχει. ψύχει. πραΰνει **76** cf. Hor. carm. 4, 5, 5 ss Wil. S. S. 211 H. D. 1, 129 Boas p. 91 s Preger 152 de tyrannicidarum monumenti titulo egit Friedl. St. It. Fil. Class. 15 (1938) 89 ss **1** cf. fr. 21 adn. pap. Argentor. 1408, 4, 5]ωσ ἐφάνης Θ 282 et Λ 797 φόως Δαναοῖσι γένηαι contulit Friedl. γένετ᾽ ἠνίκ᾽ libri plerique **4** suppl. Friedl. l. c. ex. gr. ut hic

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

77. (147) Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα.
Ξεινοφίλου δέ τις υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῶι.
ἀμφὶ διδασκαλίηι δὲ Σιμωνίδηι ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

[78.] (146) μνήμην δ' οὔ τινά φημι Σιμωνίδηι ἰσοφαρίζειν
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

---

6 p. 14 s C. πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν. ὅθεν ἐπίληπτά ἐστι τὰ τοιαῦτα Σιμωνίδου ἐκ τῶν Ἐπιγραμμάτων· [1. 2], καὶ πάλιν Νικομάχου τοῦ τὴν περὶ τῶν ζωγράφων ἐλεγείαν πεποιηκότος· [II p. 316 B.⁴] 'οὗτος δή σοι ὁ κλεινὸς ἀν' Ἑλλάδα πᾶσαν Ἀπολλόδωρος· γινώσκεις τοὔνομα τοῦτο κλύων.' ταῦτα μὲν οὖν ἐγένετο διὰ τὴν τῶν ὀνομάτων ἀνάγκην κτλ. cf. Choerob. in Hephaest. p. 226, 23 C. ἰστέον δ' ὅτι διὰ τὸ ἀδύνατον ὁ Εὐφορίων [fr. 5 P.] τὸ 'Ἀπολλόδωρος' διέλυσε φάσκων· 'καί τις Ἀπολλόδωρος ⟨. . .⟩ ἐφ' υἱέα Λειοφόωντος' Inscr. Athen. in basis fragmento rep. ἐν τῆι ἀγορᾶι ed. D. M. Robinson Amer. Journ. Arch. 40 (1936) 190 Hesperia 5 (1936) p. 355 Cl. Phil. 33, 2 (1938) p. 211, 6 [$2_{\lfloor\rfloor}$. $4_{\lfloor\rfloor}$] **77** Syrian. in Hermog. p. 86 R. πάσης γὰρ ἐπιστήμων ἀνὴρ ποιητικῆς τε καὶ μουσικῆς ὑπῆρχεν ὁ Σιμωνίδης, ὡς ἐκ νεότητος μέχρις ὀγδοήκοντα ἐτῶν νικᾶν ἐν τοῖς ἀγῶσιν Ἀθήνησιν, ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ· [1—6]. φασὶ δὲ αὐτὸν μετὰ τὴν νίκην πλεῦσαι πρὸς Ἱέρωνα καὶ μετ' ὀλίγον ἐν Σικελίαι τελευτῆσαι Tzetz. in Anecd. Ox. ed. Cram. 3, 353 λυρικὸς γὰρ ὢν ποιητὴς οὗτος ὁ Σιμωνίδης ἐκ νεότητος μέχρις ὀγδοήκοντα ἐτῶν ἐνίκα ἐν τοῖς ἀγῶσιν Ἀθήνησιν, ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ· [1—6] Plut. an seni 3 p. 785ᵃ Σιμωνίδης μὲν ἐν γήραϊ χοροῖς ἐνίκα, ὡς τοὐπίγραμμα δηλοῖ τοῖς τελευταίοις ἔπεσιν· [5. 6] cf. Plvt. Aristid. 1, 6 ad u. 3, Val. Max. 8, 7, 13 ad u. 5 s **78** Aristid. or. 28, 60 (II 160 s K.)

---

ita in u. 1. 2 quoque basis exhibebat ε̄ ter et ō bis pro η (ει) et ω **77** cf. Wil. SS. 137 s Geffck. 100 E. Reisch Gr. Weihgesch. 21 s 64 Boas p. 88 s 134 s 197. 224 s **1** a. 477/476. cf. Diod. 11, 41, 1 Plut. Them. 5, 5 Marm. Par. 55 **2** φυλὴ Ἀντ. Tzetz. A. P. 6, 344, 4 δαιδ. τρίπ. **3** τις Ⓒ (cf. 67, 5) τόθ' B. τοι Hemsterh. cf. Panaet. ap. Plut. Aristid. 1, 6 **3** s cf. fr. 79, 3 **5** IG III 82 a p. 484, 7 cadit in ἕσπετο κῦ[δος] **6** = fr. 78, 2 cf. Vitae u. 39 s p. 60 πατρὸς δὲ Λεοπρέπο[υς] (sic) **78** cf. Vitae u. 40 ss Wil. SS. 138. 205 Boas p. 93 **1** Z 101 οἱ . . . μένος ἰσοφ. μνήμηι plerique

79. (145) Ἓξ ἐπὶ πεντήκοντα, Cιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ᾽ ἀνθέμεναι πίνακα·
τοccάκι δ᾽ ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκης ἀγλαὸν ἅρμ᾽ ἐπέβης.

---

80. (114) Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελεν Ἴστρον
τῆλε καὶ ἐκ Cκυθέων μακρὸν ὁρᾶν Τάναιν,
μὴ δὲ πέλας ναίειν Cκιρωνικὸν οἶδμα θαλάccης
ἄγκεα νειφομένης ἀμφὶ Μεθουριάδος.
νῦν δ᾽ ὃ μὲν ἐν πόντωι κρυερὸc νέκυc, οἳ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῆλε βοῶci τάφοι.

[81.] (128) Οἱ μὲν ἐμὲ κτείναντεc ὁμοίων ἀντιτύχοιεν,
Ζεῦ ξένι᾽, οἱ δ᾽ ὑπὸ γᾶν θέντεc ὄναιντο βίου.

ἀλλὰ τήν γε τοῦ Cιμωνίδου cωφροcύνην οἶcθα, εἰ δὲ μή, ἀλλ᾽ ἕτεροι ἴcαcιν, ὡc ἕν τι τῶν ἀγαθῶν ἐcτι τῶν ἐκείνου τὸ γνωριμώτατον cχεδὸν καὶ περὶ τὴν ποίηcιν καὶ περὶ αὐτὸν τὸν βίον. οὗτοc τοίνυν ἀνὴρ φανεῖταί coι καὶ αὐτὸc μειρακιευόμενοc καὶ τὸ λεγόμενον δὴ τοῦτο ἐπὶ γήραοc οὐδῶι γευόμενοc τῆc ἀλαζονείαc. ἐτόλμηcε γοῦν εἰπεῖν· [1]· ταυτὶ γὰρ οὐχ ἕτεροc δήπου περὶ τοῦ Cιμωνίδου λέγει, ἀλλ᾽ αὐτὸc εἰc ἑαυτὸν πεποίηκεν. ἵνα δὲ μὴ δόξηι νέοc ὢν ἔτι καὶ ὡραϊζόμενοc λέγειν ταῦτα, προcτίθηcιν· [2] **79** A. P. 6, 213 ἀνάθημα τοῦ αὐτοῦ (Cιμωνίδου)· cf. Tzetz. Chil. 4, 487 **80** A. P. 7, 496 Cιμωνίδου· εἴc τινα ναυηγὸν ἐν Γερανείαι καὶ ταῖc Cκιρωνίcι πέτραιc ναυαγήcαντα· imitatur Callim. epigr. 15 **81** A. P. 7, 516 τοῦ αὐτοῦ (Cιμω-

---

2 = fr. 77, 6 **79** cf. Wil. SS. l. c. Geffck. 101 Boas p. 197 pertinet ad uictoriam Simonidis a. a. Chr. n. 476 Athenis reportatam **1** cιμωνίδηc cod. Pal. ταύρουc: νίκαc Tzetz. **3** C 603 ἱμερόεντα χορόν. cf. c 194 **3** s in dubium uocauit Wil., sed cf. fr. 77, 3 ss et fr. 39 et Antigenem 6. 10 **4** νίκαc C em. B. cf. fr. 39 **80** cf. Wil. H. 14 (1879) 163 s SS. 212 s 149 H. D. 1, 128, 4 et fr. 81 s **1** ad Γ. prope Megara sitam cf. RE VII 1236 ss Euphor. 92 Mein. 120 P. Scyl. 39 Plin. nat. 4, 23 λ. Aesch. Ag. 283. 298 ἴcτρου sscr. cod. Pal. **3** eodem cadit Hom. hymn. Cer. 14 **4** ἀγνέα νειφομέναc cod. Pal. em. Jac. (νιφ-) ἄγκ. et νίφειν Hom. cf. *Methurides* ap. Plin. nat. 4, 57, sed Μεθουριάδεc Steph. Byz. s. u. **5** Hes. op. 153 κρυεροῦ Ἀίδαο **6** ν. θ 253 τῆδε cod. Pal. em. Wil. eodem cadit Arat. epigr. 2, 2 alia cenotaphiorum epigrammata habes Callim. epigr. 18 Geffck. 179 **81** cf. Boas

[82.] (129) Οὗτος ὁ τοῦ Κείοιο Cιμωνίδεώ ἐcτι caωτήρ,
ὃc καὶ τεθνηὼc ζῶντι παρέcχε χάριν.

---

83. (94) Μνῆμα τόδε κλεινοῖο Μεγιcτία, ὅν ποτε Μῆδοι
Cπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃc τότε Κῆρας ἐπερχομένας cάφα εἰδώc
οὐκ ἔτλη Cπάρτης ἡγεμόνας προλιπεῖν.

νίδου)· εἴc τινα ὑπὸ ληιcτῶν ἀναιρεθέντα· 7, 77 lemm. in mg. adscr. Cιμωνίδηc εὑρὼν νεκρὸν ἐν νήcωι τινὶ θάψαc ἐπέγραψεν· [1. 2] **2** Hesych. ὄναιντο· . . . ὠφεληθεῖεν **82** A. P. 7, 77 εἰc Cιμωνίδην Cιμωνίδου· in mg. adscr. corr. Cιμωνίδηc εὑρὼν νεκρὸν ἐν νήcωι τινὶ θάψαc ἐπέγραψεν· [fr. 81]. ὁ ταφεὶc νεκρὸc ἐπιφανεὶc τῶι Cιμωνίδηι ἐκώλυce πλεῖν· διὸ τῶν cυμπλεόντων μὴ πειcθέντων αὐτὸc μείναc cώιζεται καὶ ἐπιγράφει τόδε τὸ ἐλεγεῖον τῶι τάφωι· [1. 2] Schol. Aristid. III 533 D. 200 Fromm. ὁ Cιμωνίδηc προcέcχε τινὶ τόπωι καὶ λείψανον εὑρὼν κοcμήcαc ἔθαψεν. καὶ κοιμηθέντι παρέcτη τοῦ λειψάνου τὸ εἴδωλον cυμβουλεῦον μὴ πλεῖν. ὃ δὲ ἀναcτὰc τοῖc ναύταιc ἀνεκοινοῦτο. οἳ δὲ μὴ πειcθέντεc ἀνήγοντο, αὐτὸc δὲ κατέμεινεν ἐκεῖ. χειμῶνι δὲ χρηcάμενοι ναυαγίωι περιέπεcον. καὶ ἐπὶ τούτωι τιμᾶι Cιμωνίδηc αὐτὸν ἐπιγράμματι· [1. 2] cf. Ps.-Liban. διήγημα περὶ Cιμωνίδου uol. 8 p. 42, 13 F. Cic. diu. 1, 56. 2, 134 Val. Max. 1, 7 ext. 3 Tzetz. Chil. 1, 624 ss **83** Herod. 7, 228 θαφθεῖcι δέ cφι αὐτοῦ ταύτηι τῆι περ ἔπεcον καὶ τοῖcι πρότερον τελευτήcαcι ἢ ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεcθαι ἐπιγέγραπται γράμματα λέγοντα τάδε· [fr. 91]. ταῦτα μὲν δὴ τοῖcι πᾶcι ἐπιγέγραπται, τοῖcι δὲ Cπαρτιήτηιcι ἰδίηι· [fr. 92ª]. Λακεδαιμονίοιcι μὲν δὴ τοῦτο, τῶι δὲ μάντι τόδε· [1—4]. ἐπιγράμμαcι μέν νυν καὶ cτήληιcι, ἔξω ἢ τὸ τοῦ

---

p. 223 s, fr. 80, Inscr. ap. Ziebarth Phil. 54 (1895) p. 296 (Panticapaei, aetatis Romanae) οἱ μὲν ἐ. κτ. ὁμοίωc ἀντιτύχοιcαν, Zεῦ ξένιε, οἱ δ[ὲ] γονεῖc θέντεc ὄναιντο βίου. ibid. p. 149 = Headlam Classic. Rev. 14 (1900) p. 7 (in insula Coo aetatis Romanae) οἵ με ὑπεριδόντεc ὁμότεχνοι τῶν αὐτῶν cεῦ, πάτερ, ἀντιτύχοιcαν, οἱ δ' ὑπὸ γῆν θέντεc ὄναιντο βίου **2** fr. 34 βιότου . . . ὤναcα **82** cf. fr. 80 Wil. De tribus carmin. Lat. Gotting. 1893/4 p. 7 s SS. 149 Boas p. 98 ss 196 s 243 **1** τοῦ om. Schol. κείου (κίου) Schol. Tzetz. cιμωνίδου A. P. **2** ζῶντ' ἀπέδωκε A. P. **83** cf. Geffck. 102 Preger 20 Boas p. 3 ss L. Weber Riv. d. Fil. Cl. 15 (1937) p. 379 s **1** a Μν. τ. incipiunt Hipparch. 1. 2, epigr. ap. Geffck. 15. 88, Pepl. Arist. 2, alia multa κλειτοῖο Herod. u. l. (ex Hom.) μεγιcτίου A. P. de Μεγ. cf. RE XV 332 **3** K. fr. 2

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

84. (113) Cῆμα καταφθιμένοιο Μεγακλέος εὖτ᾽ ἂν ἴδωμαι,
οἰκτίρω cέ, τάλαν Καλλία, οἳ᾽ ἔπαθες.

EPIGRAMMATA SEPVLCRALIA AETATIS SIMONIDEAE

85. (111) Ἀνδρὸc ἀριστεύcαντος ἐν Ἑλλάδι τῶν ἐφ᾽ ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ᾽ οὖca τυράννων
παίδων τ᾽ οὐκ ἤρθη νοῦν ἐc ἀτacθαλίην.

86. (112) Μνήcομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ᾽ κεῖcθαι θανοῦcαν ἀγλαὴν ἄκοιτιν [Ἀρχεναύτεω
Ξανθίππην, Περιάνδρου ἀπέκγονον, ὅc ποθ᾽ ὑψι- cήμαινε λαοῖc τέρμ᾽ ἔχων Κορίνθου. [πύργου

μάντιος ἐπίγραμμα, Ἀμφικτύονέc εἰcί cφεac οἱ ἐπικοcμήcαντεc· τὸ δὲ τοῦ μάντιος Μεγιcτίεω Cιμωνίδης ὁ Λεωπρέπεός ἐcτι κατὰ ξεινίην ὁ ἐπιγράψαc A. P. 7, 677 ἐκ τῆc ἱcτορίαc Ἡροδότου· εἰc τὸν τάφον Μεγιcτέωc τοῦ μάντεωc τοῦ ὑπὸ Περcῶν ἀναιρεθέντοc· **84** A. P. 7, 511 τοῦ αὐτοῦ (Cιμωνίδου)· εἰc Μεγακλέα· **85** Thvc. 6, 59 Ἱππόκλου γοῦν τοῦ Λαμψακηνοῦ τυράννου Αἰαντίδηι τῶι παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖοc ὧν Λαμψακηνῶι ἔδωκεν (ὁ Ἱππίαc) αἰcθανόμενοc αὐτοὺc μέγα παρὰ βαcιλεῖ Δαρείωι δύνacθαι. καὶ αὐτῆc cῆμα ἐν Λαμψάκωι ἐcτὶν ἐπίγραμμα ἔχον τόδε· [1—4] Arist. rhet. 1, 9 p. 1367^{b}, 19 (cf. 110) καὶ τὸ τοῦ Cιμωνίδου [3] (cf. Anonym. ad l. p. 54, 28 R. Stephan. ad l. p. 281, 25 R. (uol. 21) [3]) Isidor. Pel. ep. 3, 224 (Migne Gr. 78) Ἀρχεδίκη πατρὸc ἀνδρὸc ἀδελφῶν τ᾽ οὖca κτλ. **86** A. P. 13, 26 Cιμωνίδου ἐπιτύμβιον· ⟨ἐπὶ⟩ τῶι τετραμέτρωι μείουρον τρίμε-

---

4 ἔτλη c. inf. 96, 7 s. cf. 158, 7 s ἡγεμόνα ci. Lav. **84** cf. Wil. SS. 211 s **85** ss cf. Wil. GN 1897 p. 306 ss TG 37 **85** cf. Wil. SS. 213, qui contulit epigr. ap. Plut. quaest. conuiu. 9, 15, 2 p. 747^{f}, Geffck. 109 Preger 31 proleg. p. XXI s Boas p. 70 ss C. M. Bowra ClPh. 1934, 230 ss H. Schaefer Staatsform und Politik p. 182 **1** ἀρ. Hom. **2** ex. cf. fr. 116, 4. alia congessit Geffck. ad l. **3** dixit Cynisca, Archidami filia, Olympiae prima uictrix IG V 1, 1564^{a} Geffck. 129 (a. 396/3) Cπάρτας μὲν [βαcιλῆεc ἐμοὶ] πατέρεc καὶ ἀδελφοί **4** ἀτ. Hom. **86** cf. Wil. SS. 216 et ad metrum Archiloch. 112 ss Hor. carm. 1, 4 *soluitur acris hiems* **3** ἀπέκγ. nouom de Periandri gente cf. RE XIX 712 ὑψίπ. uox tragica **4** P 250 s cημαίνουcι . . . λαοῖc λ. fr. 32, 4 τέρμα

87. (89) Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, cῆμα δ᾽ ἐφ᾽ ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοcίαι κέχυται.
{οὐκ ἀδίκωc· ἐρατὴν γὰρ ἀπωλέcαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.}

88. (90) **a** Ἑλλήνων προμαχοῦντεc ᾽Αθηναῖοι Μαραθῶνι
χρυcοφόρων Μήδων ἐcτόρεcαν δύναμιν.
b Ἑλλήνων προμαχοῦντεc ᾽Αθηναῖοι Μαραθῶνι
ἔκτειναν Μήδων εἴκοcι μυριάδαc.
c Ἑλλήνων προμαχοῦντεc ᾽Αθηναῖοι Μαραθῶνι
ἔκτειναν Μήδων ἐννέα μυριάδαc.

88ᴬ. ᾽Ανδρῶν τῶνδ᾽ ἀρετᾱ[⏑ – ⏑ – ∪∪] αἰεί

τρον **87** A. Plan. 26 Cιμωνίδου· **88** Lycvrg. Leocr. 109 τοιγαροῦν ἐπὶ τοῖc ἡρίοιc (ὁρίοιc τοῦ βίου Ⓒ) μαρτύρια ἔcτιν ἰδεῖν τῆc ἀρετῆc αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸc ἅπανταc τοὺc Ἕλληναc, ἐκείνοιc μέν· [fr. 92ᵇ], τοῖc δ᾽ ὑμετέροιc προγόνοιc· [**a**] Schol. Aristid. II 159, 15 D. (p. 289 Fromm.) [**b**] Svid. s. Ποικίλη· [**b**] Aristid. or. 28, 63 (II 161 s K.) ἆρά coι καὶ τὰ τοιάδε δόξει ἀλαζονεία τιc εἶναι; [**c**] καί· [fr. 89] καὶ πάντα ἐκεῖνα καλλίω τῶν cῶν, οἶμαι, λόγων ἐπιγράμματα; cf. Pavs. 1, 32, 3

88 A Inscr. Fori Athen. ed. J. H. Oliver[1] Hesperia 2 (1933)

---

est τέλοc, ἀρχή **87** hoc quoque epigramma spectat ad Atheniensium de Chalcidensibus uictoriam a. a. Chr. n. 506. cf. fr. 100 Herod. 5, 74. 77 RE III 2081 s Reitz. p. 109 Boas p. 220 s **1** de Δ., Euboeae saltu, cf. RE V 1170 Hom. hymn. Apoll. 269 ὑπὸ πτυχὶ Παρνηcοῖο **1** s cῆμα χεῦαι Hom. cf. Geffck. 58, 2 ἑταῖροι cᾶμα χέαν **3** s postea adiectos esse docuit Wilhelm Österr. Jahresh. 2 (1899) p. 244 **3** οὐκ ἀδίκωc sic redit ap. Kai. Epigr. 381 cf. 130, 2 ἐρατῇι πὰρ νεότητι μένειν 115, 1 ἀγλαὸν ὤλεcαν ἥβην cum adn. **4** τρηχείην Ⓒ em. Schnw. ex fr. 110, 1. sed cf. Ap. Rhod. 2, 375 Rhian. 11, 1 ad δεξ. cf. 120, 4. 96, 2 P 591 al. ἄχεοc νεφέλη . . . μέλαινα **88** cf. Hi. Phil. 48 (1889) 229 ss Geffck. 107 Preger 199 Boas p. 92 ss 101 ss 193. 243 Hi. v. G. Epigr. 12 Friedl. St. It. Fil. Cl. 15 (1938) p. 98 **a 1** Γ 16 Τρωcὶν . . . προμάχιζεν **2** cf. Hesych. ἐcτόρεcαν· ἔcτρωcαν **b c 2** εἴκοcι lectionem ueram esse statuit Boas ex Iustino 2, 9, 20 *(ducenta milia)*, cuius auctor Ephorum secutus est

88 A utrum agatur de uictoriis Salaminia-Plataeensi (Hi. v. G.) an Marathonia (Maas, Wilhelm), adhuc sub iudice lis est

1 cf. fr. 122 D. cum Wil. SS. 215 (de Tegea) Ditt. Syll.[3] 1225

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

[_ ⏑ _ ⏑ _] πε̣ρco[νομ _ ⏑ ⏑ ⏒]
ἔcχον γὰρ πεζοί τε [καὶ ὁκυπόρ̄ων ἐπὶ νε̄ô]ν
*h*ελλά[δα μὲ] πᾶcαν δούλιο[ν ἦμαρ ἰδε̂ν].

88B. Ἐν ἄρα τοῖcζ' ἀδάμ[αντος ἐνὶ φρεcὶ θυμός, *h*]ότ' cτε̂caμ πρόcθε πυλῶν ἀν[τία μυριάcιν], [αἰχμέν

---

p. 480 ss cum imagine ibid. 5 (1936) 232 Hi. v. Gaertr. H. 69 (1934) p. 204 ss W. Peek ibid. p. 339 ss J. L. Myres Simonides, Aeschylus and the battle of Marathon in Antiquity (A Quarterly Review of Archeol. Southampton) 8 (1934) 176 A. Wilhelm Anz. AW Wien 71 (1934) (u. PhW. 1935, 838 et W. Peek H. 70 [1935] p. 462[4]) P. Maas et L. Wickert H. 70 (1935) p. 235 ss Kirchner Imag. inscr. Attic. tab. 9 J. H. Oliver[2] Amer. Journ. of Phil. 56 (1935) p. 193 ss C. M. Bowra Greek lyric poetry (Oxon. 1936) p. 356 s Arvanitzopulos Ἑλληνικὴ Ἐπιγραφική 1937, 118 D. M. Robinson ClPh. 33 (1938) p. 211 P. Friedl. St. It. Fil. Class. 15 (1938) 93 s

88 B Inscr. Fori Athen. ed. J. H. Oliver[1] et Hi. v. Gaertr. l. c. (sub 88 A) J. L. Myres l. c. (sub 88 A) W. Peek H. 69 (1934) p. 339 ss A. Wilhelm l. c. P. Maas l. c. Kirchner l. c. J. H. Oliver[2]

GA 1933, 415 ss ἀρετε̂[c λάμπει κλέος ἄφθιτον] αἰεί Peek p. 340[2] ex SEG 3, 441 ἀρετὲ̂ [cχέ̄cει κλ. ἄφθ.] αἰεί Oliver[2] Bowra **1** ex. siue αἰετ[**2** [ἀντίον *h*οἰ] Περcῶν [ἐν Μαραθῶνι θάνον] Oliver[2] Bowra **2** ex. tentaui ex Aesch. Pers. 584 s τοὶ δ' ἀνὰ γᾶν Ἀcίαν δὴν οὐκέτι περcονομοῦνται et 919 περcονόμου τιμῆc μεγάληc **3** suppl. Hi. v. Gaertr. ex fr. 115, 3 τε̄[ν βαρβαρόφω̄νον ἀυτε̄́]ν Merritt Oliver[2] Bowra τε [καὶ ὁ̄́κυπόδω̄ν ἐπὶ πό̄́λω̄]ν Maas conlatis fr. 120 Hes. fr. 21 b. 22 Ps.-Hes. scut. 97 **4** ex. cf. Z 463 δούλιον ἄρτον ἔδων dixit Archil. fr. 79, 6

88 B Aeschylo dederunt J. L. Myres Oliver[2] C. M. Bowra l. c.

1 cf. initium epigr. ap. Aeschin. 3, 183 Plut. Cimon. 7, 4 (Hi. v. G. Epigr. 34) ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι contulit Hi. v. G. Θεόζοτος suppleuimus ego Maas Wilhelm ex Hes. theog. 239 Εὐρυβίην τ' ἀδάμαντος ἐνὶ φρεcὶ θυμὸν ἔχουcαν (cf. ψ 172 ciδήρεον ἐν φρεcὶν ἦτορ' Peek l. c. p. 340[1] et Hor. carm. 1, 3, 9 s *illi robur et aes triplex circa pectus erat* et Pind. fr. 123 Schr. ὃc μὴ πόθωι κυμαίνεται, ἐξ ἀδάμαντος ἢ ciδάρου κεχάλκευται μέλαιναν καρδίαν) nunc magis placet Paulo Maas ἀδάμ[αντος ἔcω̄ κέαρ *h*οί ῥά π]οτ' αἰ, qui olim ἀδάμ[αντι πεφραγμένον ἔτορ *h*]ότ' ap. Hi. v. G. ἀδάμ[ας ἐν cτέθεcι θυμός] Oliver[2] Merritt ἀδάμ[αcτος ἐνὶ φρεcὶ θυμός] Bowra **1** s αἰχ. cτ. est aciem consistere conl. Pind. Ol. 7, 19 Eur. Heracl. 216 **2** suppl. Hi. v. G. Wilhelm ἄν[δρεc ἀρε̄ιθόοι] Maas ex fr. 89, 2 **2** s ἀν[τίον *h*ιεμένω̄ν] et ῥ[ύcαντο δὲ τὲc πολυβόλο] tentauit Peek l. c. p. 341 s

ἀνχίαλομ πρῆcαι Ῥ[υciπτόλιος μεμαότ̄ων]
ἄcτυ βίαι Περcῶν κλινάμενο[ι δύναμιν].

89. (104) ἀμφί τε Βυζάντειον ὅcοι θάνον, ἰχθυόεccαν
ῥυόμενοι χώραν, ἄνδρες ἀρηιθόοι.

90. (96) **a** ⸢Ὦ ξένε, εὔυδρ⸣όν ποκ᾽ ἐναίομες ἄcτυ Cορίνθο,
⸢νῦν δ(ὲ) ἁμ(ὲ) Αἴα⸣ντος ⸢νᾶcος ἔχει⸣ C⸢αλαμίc.⸣
b Ὦ ξένε, εὔυδρόν ποτ᾽ ἐναίομεν ἄcτυ Κορίνθου,
νῦν δ᾽ ἅμ᾽ Αἴαντος νᾶcος ἔχει Cαλαμίc.
ἐνθάδε Φοινίccας νῆας καὶ Πέρcας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυόμεθα.

---

l. c. C. M. Bowra l. c. D. M. Robinson l. c. **89** Aristid. or. 28, 63 (II 161 s K.) ἆρά coι καὶ τὰ τοιάδε δόξει ἀλαζονεία τιc εἶναι; [fr. 88ᵉ] καί· [1. 2] καὶ πάντα ἐκεῖνα καλλίω τῶν cῶν, οἶμαι, λόγων ἐπιγράμματα; καὶ ἔτι γε μᾶλλον· [fr. 103] **90** Inscr. ap. Dragumis Athen. Mitteil. 22 (1897) p. 52 ss tab. IX Wilhelm OestJh. 2 (1899) p. 227 Hicks-Hill 18 Nachmanson Histor. gr. Inschr. 12 Salamine in necropoli [**a**] Plut. malign. Herod. 39 p. 870ᵉ ἐν δὲ Cαλαμῖνι παρὰ τὴν πόλιν ἔδωκαν αὐτοῖc θάψαι τε τοὺc ἀποθανόντας ὡc ἄνδραc ἀγαθοὺc γενομένουc καὶ ἐπιγράψαι τόδε τὸ ἐλεγεῖον· [**b**] subsequitur fr. 95ᵃ Favorin. (Ps.-Dio Prvs.) or. 37, 18 (II 21 Arn.) ἐν Cαλαμῖνι δὲ ἠρίcτευcαν καὶ τῆc νίκηc αἴτιοι κατέcτηcαν (οἱ Κορίνθιοι). Ἡροδότωι [7, 202] γὰρ οὐ προcέχω, ἀλλὰ τῶι τάφωι καὶ τῶι Cιμωνίδηι, ὃc ἐπέγραψεν ἐπὶ τοῖc νεκροῖc τῶν Κορινθίων τεθαμμένοιc ἐν Cαλαμῖνι· [**c**]. ἔcτι δὲ καὶ ἕτερον ἐπίγραμμα Cι-

---

3 suppl. Hi. v. G. cf. Aesch. Sept. 434 πρήcω πόλιν 128 ῥυcίπολοc γενοῦ, Παλλάc β[αθυχαιτάων μεμ.] Maas Δ 40 μεμαὼc πόλιν ἐξαλαπάξαι 3 s ante ἄcτυ litteram o cognouisse sibi uidetur Rangabé 4 Hom. passim eodem sensu κλίνειν, tamen δόραcιν (cf. Γ 135) non audeo ad κλ. δ. cf. IG I 363 b 4. adde fr. 88 a, 2 Μήδων ἐcτόρεcαν δύναμιν

89 cf. Boas p. 92 ss et ad hoc epigr. et quod sequitur Maas H. 70 (1935) 235 s Friedl. St. It. Fil. Cl. 15 (1938) p. 95. 97 s, qui contulit R. Heinze Von altgriech. Kriegsgräbern NJahrb. 18 (1915), 1 ss 1 βυζάντιον C em. Scal. Βυζάντειαν B. ex Steph. Byz. s. Βυζάντιον ἰχθ. Hom. 2 Θ 298 al. ἀρηιθόων αἰζηῶν cf. Hesych. s. ἀρηϊθόων **90** cf. Wil. GN 1897, 307 ss SS. 192 ss Geffck. 96 Hi. v. G. Epigr. 20 Preger 6ᵃᵇ Boas p. 67 s 80. 86 s 90 s 109 s 232. 237 Semenov Festschr. des histor.-philol. Vereins München 1905

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

c Ὦ ξένε, εὐυδρόν ποτ᾽ ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δὲ μετ᾽ Αἴαντος νᾶσος ἔχει Σαλαμίς.
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἐλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδ᾽ ἱδρυσάμεθα.

• **91.** (91) Μυριάσιν ποτὲ τῆιδε τριακοσίαις᾽ ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

92. (92) **a** Ὦ ξεῖν᾽, ἀγγέλλειν Λακεδαιμονίοις᾽, ὅτι τῆιδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

b Ὦ ξένε, ἄγγειλον Λακεδαιμονίοις᾽, ὅτι τῆιδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις.

μωνίδηι εἰς αὐτὸν τὸν στρατηγὸν ἐξαίρετον· [fr. 94[b]]. ἠλευθέρωσαν δὲ καὶ τὴν Σικελίαν ἀπὸ τῶν βαρβάρων καὶ τὰς Συρακούσας δὲ ἀπὸ τῶν τυράννων **91** Herod. 7, 228 cf. fr. 83 A. P. 7, 248 Σιμωνίδου· εἰς τοὺς μετὰ Λεωνίδην μαχεσαμένους Πέρσας· Aristid. 28, 65 (II 162 s K.) σὺ δ᾽ οὖν ἐξέταζε τὰ Δώρια, εἰ βούλει, καὶ τὰ Λακωνικά· [1. 2] sequitur fr. 95[b] Diod. 11, 33, 2 ἐπέγραψαν δὲ (οἱ Ἕλληνες) καὶ τοῖς ἐν Θερμοπύλαις ἀποθανοῦσι Λακεδαιμονίοις κοινῆι μὲν ἅπασι τόδε· [1. 2], ἰδίαι δὲ αὐτοῖς τόδε· [fr. 92[b]] Suid. s. Λεωνίδης [1. 2] **92** Herod. 7, 228 cf. fr. 83 [**a**] Suid. s. Λεωνίδης· [**a**] Lycurg. Leocr. 109 cf. fr. 88[a] [**b**] Diod. 11, 33, 2 cf. fr. 91 [**b**] Strab. 9, 4, 16 p. 429 ἡ θρυλουμένη ἐπιγραφὴ τῆι Λακεδαιμονίων στήλη οὕτως ἔχουσα· [**b**] **b** uertit Cic. Tusc. 1, 101 *pari animo Lacedaemonii in Thermopylis occiderunt, in quos Simonides: ‘dic, hospes, Spartae nos te hic*

---

p. 50 s **a b c 1** de ξένε cf. Wil. SS. 192, 3 **c 1** ξεῖνε Aristid. M **a 1** Ϛ in K uidetur esse correctum **a b 2** δὲ ἀνάματος Plut. Ϛ em. Valck. B. **a b c 2** Pepl. Aristot. 8 Τεῦκρον . . . γῆ Σαλαμὶς κατέχει **b c 3 s** postea adiectos esse iam cognouerant Kai. Wil. **c 3** ναῦς Fauor. u. l. **b 4** ῥυσάμεθα Jacobs B. cf. fr. 102, 2 **91** cf. Hi. Phil. 48 (1889), 229 ss Geffck. 106 Preger 200 Boas p. 3 ss 92 ss 194 **1** τεῖδε Preger (recte) τριηκοσίαις Herod. A. P. τριηκοσίης᾽ Aristid. διακοσίαις (διηκ- P) Diod. **2** IG II 3111 Kai. Epigr. 47 ἐκ Πελ. πελοποννήσου Ϛ praeter Herod. u. l. A. P. τέτταρες Aristid. **92** cf. Cic. Tusc. l. c. Geffck. 105 Preger 21 Hi. v. Gaertr. Epigr. 16 Boas p. 3 ss 43. 81 ss 194 Wil. SS. 201. 206 R. Heinze NJbb. 18 (1915) p. 6 ss Friedl. St. It. Fil. Cl. 15 (1938) 99 ss **1** ξενε (i. ξένε siue ξῆνε) dabat lapis (cf. fr. 90[a]) ξεῖν᾽ Lycurg. Ϛ ἄγγελλε Suid. Ϛ ἀπάγγειλον Strab. **2** κείμεθα dicunt qui

c ᾽Ω ξεῖν᾽, ἄγγειλον Λακεδαιμονίοις᾽, ὅτι τῆιδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

93. (*93) Τούσδε ποτὲ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία μητρόπολις Λοκρῶν εὐθυνόμων ᾽Οπόεις. [Μήδων

94. (98) **a** Οὗτος ᾽Αδειμάντου κείνου τάφος, ὃν διὰ πᾶσα
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

b Οὗτος ᾽Αδειμάντου κείνου τάφος, οὗ διὰ βουλάς
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

95. (97) **a** ᾽Ακμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὑτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

---

uidisse iacentis, dum sanctis patriae legibus obsequimur' A. P. 7, 249 (Plan.) Σιμωνίδου· [**c**] **93** Strab. 9, 4, 2 p. 425 ὁ δ᾽ ᾽Οποῦς ἐστι μητρόπολις (Λοκρῶν), καθάπερ καὶ τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐπὶ τῆι πρώτηι (ἐπὶ μιᾶι ci. Boas) τῶν πέντε στηλῶν τῶν περὶ Θερμοπύλας ἐπιγεγραμμένον πρὸς τῶι πολυανδρίωι· [1. 2] **94** Plvt. malign. Herod. 39 p. 870^{f} αὐτός γε μὴν ὁ ᾽Αδείμαντος, ὧι πλεῖστα λοιδορούμενος Ἡρόδοτος [8, 5] διατελεῖ καὶ λέγων· ᾽μοῦνον ἀπαίρειν τῶν στρατηγῶν ὡς φευξόμενον ἀπ᾽ ᾽Αρτεμισίου καὶ μὴ περιμενοῦντα᾽, σκόπει τίνα δόξαν εἶχεν· [**a**] Favorin. (Ps.-Dio Prvs.) or. 37, 19 (II 21 Arn.) [**b**] cf. fr. 90^{c} A. P. 7, 347 εἰς ᾽Αδείμαντον τὸν ὑπατικόν· Σιμωνίδου τοῦ Κηίου [**b**] **95** Plvt. malign. Herod. 39 p. 870^{ef} praecedit fr. 90^{b} τὸ δ᾽ ἐν ᾽Ισθμῶι κενοτάφιον

---

sepulti sunt, non qui ceciderunt ῥ. π. Theogn. 1152. 1262 Preger 73, 2. cf. fr. 107, 2 **93** cf. Preger 20 Hi. v. Gaertr. Epigr. 18 Boas p. 22 ss **1** ποτε C def. Friedl. St. It. Fil. Cl. 15 (1938) 95 ss ποθεῖ Mein. ex fr. 137, 2 iniuria **2** Steph. Byz. s. ᾽Αλπηνοί seu potius ῎Αλπωνος hoc oppidum erat μητρόπολις Λοκρῶν (RE XIII 1156, 18 ss) de Opunte cf. RE XVIII 812 s 815 s **2** εὐθ. nouom num de Zaleuco cogitauit poeta? cf. RE XIII 1157 s 1318 ss 1349, 8 ss **94** cf. Wil. SS. 195 ss Boas p. 86 s 90. 236 **1** de ᾽Αδ., Corinthiorum duce, cf. RE I 354 s, 2 **a 1** cf. Pepl. Arist. 13 οὗτος ᾽Οδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ ῞Ελληνες . . . εὐτύχεσαν κείνου om. Plut. **b 1** βουλᾶς Wil. **2** ἐλευθερίης cod. Pal. Epigr. ap. Athen. 1, 19^{b} ἀμφέθετο στεφάνους contulit W. Peek H. 68 (1933) p. 118 s (cum imagine) scol. Attic. a. fere 480 a. Chr. n. in pyxide coloris rubri [. . . ἐλε]υθερίας καλὸν ἔχει στέφανον **95** cf. Wil. SS. 194 s Geffck. 108 Preger 5 Wilhelm l. c. 243 s Boas p. 86. 92 ss 109. 236 s 243 **1** K 173

b Ἀκμῆς ἑστηκυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὑτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνης· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίης.
ὀστέα δ' ἡμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.

96. (107) Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἆμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα·
τοὶ μὲν ὑπ' Εὐ〈β〉οί〈ας〉 ἄκ[ρω]ι πάγωι, ἔνθα καλεῖται
ἄγν〈ᾶ〉ς Ἀρτέμιδος τοξοφ〈όρ〉ου τέμενος·
τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔνπροσθε〈ν〉 Σαλαμῖνος
〈ναῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρη〉,
τοὶ δὲ καὶ ἐν πεδίωι Βοιωτίωι, οἵτινες ἔτλαν
χεῖρας ἐπ' ἀνθρώπους ἱππομάχους ἱέναι.

ἐπιγραφὴν ἔχει ταύτην· [a] Schol. Aristid. 126, 4 ad Panath. I 204, 11 D. (III 136, 22 D. p. 52 Fromm.) [a] A. P. 7, 250 (praecedit epigr. 92e) Σιμωνίδου· εἰς τοὺς αὐτούς (i. τοὺς ἐν Θερμοπύλαις τεθνεῶτας) [falso] [a] Aristid. or. 28, 65 s (II 163 K.) (praecedit fr. 91) ἆρ' οὖν οὐκ ἀλαζονεία ταῦτα καὶ πολλὴ καὶ πρός γε αὐθάδεια λαμπρά; τετρακισχίλιοι, φασίν, ὄντες τριακοσίαις μυριάσι πολεμίων ἀντήραμεν. ἕτεροι δ' αὖ λέγουσιν· [b], ὥστε ὥρα σοι σκώπτειν αὐτοὺς ὡς ἀδολέσχας τινὰς νεκροὺς καὶ οὐκ εἰδότας ἡσυχίαν ἄγειν **96** CIG 1051 IG VII 53 Wilhelm Österr. Jahresh. 2 (1899) 236 ss Hicks-Hill 17 Palaeochorii in loco Megaridis rep., saec. p. Chr. IIII/V uel VI τὸ ἐπίγραμμα τῶν ἐν τῶι Περσικῶι πολέμωι ἀποθανόντων κὲ κειμένω[ν] | ἐνταῦθα ἡρώων, ἀπολό-

---

ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. cf. Hesych. s. ἐπὶ ξυροῦ ἔπι mauolt Kal. **b 2** s cf. fr. 102, 2 cum adn. **3** δουλοσύνας u. l. **4** ναυμαχίας Iunt. **5** ἡμιν (ἡμῖν) Ⓒ ἄμμιν Br. cf. fr. 90 **96** cf. Paus. 1, 43, 3 Wil. GN 1897 p. 320 ss Kai. Epigr. Gr. 461 Boas p. 78 ss **1** αεξιν lapis in ἀέξει cadit fr. 64, 5 contra fr. 88 A 4 *h*ελλ[άδα μὲ] πᾶσαν δούλιο[ν ἦμαρ ἰδὲν] cf. 119, 2 **2** flectit μοῖρ' ἔκιχεν θανάτου (fr. 135, 2) ad ἐδ. cf. 87, 4 cum adn. **3** ευροιακ[. .]ι lap. em. B. καλειτε lap. **4** εαγναε lap. uoluitne falso Fαγνᾶς? τοξοφιου lap. em. B. ex Φ 483 **5** ορι μοι καλας lap. ενπροσθε σαλαμεινος lap. **6** add. Boeckh cf. fr. 90 b c, 3. 103 a b c 6 **7** παιδιω lap. **7** s οὐκ ἔτλη cum inf. 83, 4 **8** Περσῶν ἱππομάχων fr. 144, 4 Br. ad ἱππ. cf. Snell H. Einzelschr. 5

ἀστοὶ δὲ ἄμμι τόδ' ⟨ἀνδρείας⟩ γέρας ὀμφαλῶι ἀμφί
10 Νισαίων ἔπορον δαμοδόκων ἀγόρων.

97. (109) **a** Τούσδ' ἀπὸ Τυρρηνῶν ἀκροθίνια Φοίβωι ἄγοντας
ἓν πέλαγος, μία ναῦς, εἷς τάφος ἐκτέρισεν.

b Τούσδε ποτ' ἐκ Σπάρτας ἀκροθίνια Φοίβωι ἄγοντας
ἓν πέλαγος, μία νύξ, ἓν σκάφος ἐκτέρισεν.

98. (125) Ἀργεῖος Δάνδης σταδιοδρόμος ἐνθάδε κεῖται
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,
Ὀλυμπίαι δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμῶι, πεντεκαίδεκ' ἐν Νεμέαι,
5 τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

99. (169) Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ'
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος. [εἰπών

μενον δὲ τῶι χρόνωι Ἑλλάδιος ὁ ἀρχιερεὺς ἐπιγρ[α]|φῆναι ἐποίησεν ἰς τειμὴν τῶν κειμένων καὶ τῆς πόλεως. Σιμωνίδης| ἐποίει. [1—10]. μέχρις ἐφ' ἡμῶν δὲ ἡ πόλις καὶ ταῦρον ἐνήγιζεν **97** A. P.[1] post 7, 650 Σιμωνίδου· εἰς ναυηγούς τινας ἐν Τυρρηνίαι ναυαγήσαντας· [2]7, 270 (Plan.) Σιμωνίδου· εἰς τοὺς ἀπὸ Σπάρτης ναυαγήσαντας· **98** A. P. 13, 14 Σιμωνίδου· **99** Athen. 10, 415[f] καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος ποιητὴς

---

pap. Argentor. gr. 2340 c 16 p. 93 cum adn. p. 96 ιενε lap. **2** ἀνδρείας add. Sitz. cf. PhW. 1921, 1054 **10** νεισεον lap. δαμ. nouom γαορω lap. em. B. ex Eur. **97** cf. Wil. SS. 213 Geffck. 110 Boas p. 243 s Semenov Festschr. d. histor.-philol. Vereins München 1905 p. 51 s **a 1** cf. fr. 108 Ταῦτ' ἀπὸ δυσμενέων Μήδων IGA 510 τῶι Διὶ Τυράν' ἀπὸ Κύμας **a b 1** ἀκροθήνια A. P. Plan. ad ἀκρ. cf. Passow-Croenert 234, 26 ss **b 1** φοῖβ' ἀγαγόντας cod. Pal.[2] **a 2** contulit Geffck. IG XII 7, 113, 2 [καὶ τ]άφος εἷς φθιμένους δέξατο γηραλείους et A. P. 7, 444, 6 s **b 2** μία νύξ lectionem genuinam esse cognouit Wil. **98 1** δάνδις σταδιαδρόμος cod. Pal. uicit D. Olympia a. 472 a. Chr. n. cf. Afric. ap. Euseb. chron. 1, 204 Dion. Hal. antiq. 9, 37, 1 RE IV 2100 στ. Plat. leg. 8, 833[a] A. P. 11, 208 **2** B 287 (saepe) Ἄργεος ἱπποβότοιο IG XII 9, 1195 Geffck. 185, 1 ἐπευκλέισεν ad πατρ. εὐκλ. cf. Tyrt. 9, 23 s Geffck. Epigr. 86, 2 cum adn. **3** s cf. 152 **4** ἰσθμοῖ cod. Pal. em. B. Mein. νεμαία cod. Pal. em. B. Schm. **99** cf. Diog. Laert. 2, 25 Boas p. 117 s Wil. SS. 146, 2 P. Maas

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

EPIGRAMMATA DEDICATORIA AETATIS SIMONIDEAE

100. (132) **a*** ⌊Δεcμôι ἐν ἀχνυόεντι cιδηρέōι ἔcβεcαν *h*ύβ⌋ριν
παῖδε⌊c Ἀθηναίων ἔργμαcιν ἐν πολέμο⌋
⌊ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάcαντεc.⌋
τῶν *h*ίππος δ⌊εκάτην Παλλάδι τάcδ' ἔθεcαν.⌋
b* ⌊Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάcαντεc⌋
⌊παῖδεc Ἀθ⌋ηναίων ἔργμα⌊cιν ἐν πολέμω⌋
⌊δεcμôι ἐν ἀχνυόεντι cιδηρέōι ἔcβεcαν *h*ύβριν.⌋
⌊τῶν *h*ί⌋ππος δεκά⌊την Παλλάδι τάcδ' ἔθεcαν.⌋

καὶ ἀθλητὴc πένταθλοc ἄδην ἔφαγε καὶ ἔπιεν, ὡc τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ· [1. 2] A. P. 7, 348 (Plan.) εἰc Τιμοκρέοντα τὸν Ῥόδιον in mg. m.² Cιμωνίδου **100** IG I suppl. 334ª p. 78 in quadrigarum basi marmoris Eleusinii post uictoriam a Boeotis et Chalcidensibus a. a. Chr. n. 506 reportatam Athenis ab Atheniensibus conlocata in arce s. VI ex. (cf. E. Reisch Gr. Weihgesch. 12. 17, 3) [**a**]. IG I suppl. 334 Hicks-Hill 11 eiusdem doni post a. a. Chr. n. 446 e marmore Pentelico instaurati titulus uersuum ordine mutato, cum catenae non iam

---

RE VI A 1271, 57 ss, qui ad epitaphium cauillatorium contulit Theodoridae epigr. A. P. 7, 406. 13, 21 (St. It. Fil. Cl. 15 [1938] p. 81), et sub Timocreont. fr. 1 **1** φ. et πιὼν traiecit Plan. cf. Athen. ἔφαγε καὶ ἔπιεν et o 373 τῶν ἔφαγόν τ' ἔπιόν τε et ad rem Athen. 10, 416ª (= Thrasymach. Chalcedon. fr. 4 Die.-Kr.⁵) nota adlitterationem q. d. **2** ἀνθρώποιc cod. Pal. **100** cf. fr. 87 Geffck. 16 Kai. Epigr. 748 Preger 72 Hoffmann Syll. 249 Hicks-Hill 12 Roberts-Gardner Introduct. to Greek Epigr. 178 Roehl imag. p. 73, 22 Boas p. 80. 86. 92 ss 229 ss 243 Schmolling Sokrat. 1913, 692 ss L. Weber Phil. 77 (1921), 77 ss ad rem cf. Ad. Kirchhoff SBBerl. 1887, 111 ss W. Miller Americ. Journ. of Archaeol. 8 (1893) 503 ss Busolt Gr. Gesch. II² 442 ss Judeich Topogr. v. Athen² 68. 216 Weber l. c. 86 ss **a 1 b** 3 ἀχνυνθέντι Herod. libri α A. P. ἀχλυόεντι libri β Diod. em. Hecker ex Et. Magn. 182, 1 s ἀχνύc Heraclit. fr. 43 Die.-Kr.⁵ ὕβριν χρὴ cβεννύναι μᾶλλον ἢ πυρκαϊήν | 678 cβέccαι χόλον. cf. Alc. 76, 7 **a 2** s **b 1** s παῖδεc Ἀθ. . . . δαμάcαντεc = 109, 2 s. cf. 119 **a b 2** πολεμήια ἔργα, ἔργα Ἄρηoc Hom. ἐκ Herod. α A. P. πολέμωι Diod. Ⓒ **4** cf. Geffck. 30. 32. 71 ὧν Diod. ἔθεcαν (ἀνέθ- Herod. cod. S) Ⓒ, quod iure

---

* litterae cancellis inclusae desunt in lapidibus

101. (150) **a*** ⌊C⌋τροίβο: π⌊α⌋ῖ, τό⌊δ᾽ ἄγαλ⌋μα: Λεό⌊κρατες,
εὖτ᾽ ἀνέθ̄εκας⌋
*h*ερμεῖ, καλλικόμως (sic) οὐκ ἔλαθες ⌊Χάριτας.⌋

b Στροίβου παῖ, τόδ᾽ ἄγαλμα, Λεώκρατες, εὖτ᾽ ἀνέθηκας
Ἑρμῆι, καλλικόμους οὐκ ἔλαθες Χάριτας
οὐδ᾽ Ἀκαδήμειαν πολυγαθέα, τῆς ἐν ἀγοστῶι
σὴν εὐεργεσίην τῶι προσιόντι λέγω.

102. (*139) Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ᾽ ἀνέθηκαν
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

---

prope quadrigas iacerent, litteris στοιχηδὸν incisis [**b**] Herod. 5, 77 τὰς δὲ πέδας αὐτῶν (τῶν Βοιωτῶν καὶ Χαλκιδέων), ἐν τῆισι ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν, αἳ περ ἔτι καὶ ἐς ἐμὲ ἦσαν περιεοῦσαι κρεμάμεναι ἐκ τειχέων περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου. . . . καὶ τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν (οἱ Ἀθηναῖοι) ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χειρὸς ἕστηκε πρῶτα ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῆι ἀκροπόλι· ἐπιγέγραπται δέ οἱ τάδε· [**b**] Aristid. or. 28, 64 (II 162 K.) (ἆρά σοι . . . δόξει ἀλαζονεία τις εἶναι . . .) καὶ πάντα ἐκεῖνα . . . ἐπιγράμματα; καὶ ἔτι γε μᾶλλον· [fr. 103ᵇ], καὶ πρό γε τούτων· [**b** 1—2 Ἀθηναίων], οἶμαι, λέγει τὸ ἐπίγραμμα καὶ πολλὰ ἕτερα Diod. 10, 24, 3 ὅτι Ἀθηναῖοι δεξιῶς τῆι νίκηι χρησάμενοι καὶ νικήσαντες Βοιωτούς τε καὶ Χαλκιδεῖς εὐθὺς ἀπὸ τῆς μάχης Χαλκίδος ἐκυρίευσαν, ἐκ τῆς ὠφελείας τῆς τῶν Βοιωτῶν δεκάτην ἄρμα χαλκοῦν εἰς τὴν ἀκρόπολιν ἀνέθεσαν τόδε τὸ ἐλεγεῖον ἐπιγράψαντες· [**b**] A. P. 6, 343 ἄδηλον· [**b**] cf. Pavs. 1, 28, 2 ἅρμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν δεκάτη καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίαι **101** Inscr. ap. Wilhelm Österr. Jahresh. 2 (1899) 227 ss Athenis in Μεσογείαι adscr. Mercurii signo saec. V (cf. Ps.-Plat. Hipparch. 228ᵉ) [**a**] A. P.¹ 6, 144 ἀνάθημα τῶι Ἑρμῆι παρὰ Λεωκράτους· τοῦ αὐτοῦ (Ἀνακρέοντος)· [**b**] sed post ²6, 213

---

defendit Weber (cf. 109, 4) ἀνέθεν Schnw. B. ex 108, 2 **101** cf. Wil. SS. 145 s Geffck. 63 Boas p. 80. 150 ss 224 s 243 Ch. Picard L'Hermès de Leocratès et les jardins de l'Académie Rev. d. Étud. Anc. 37 (1935) 9 ss **a b 1** στοίβου et στρόμβου Ⓒ em. Schneider ex Thuc. 1, 105, 2 (Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος, a. 479/8). cf. Kirchner Prosop. Att. 2, 12, 9084 RE XII 2001 s IV A 369 **2** imitatus est auctor tituli IG III 82ᵃ p. 484, 12 [καλλικόμους] οὐκ ἔλαθεν Χάρι[τας] **b 3** Ἀκαδημίαν Suid. πολυγηθέα Schnw. cf. Hesych. s. ἀγοστός **4** εὐεργεσίαν A. P.² **102** Simonidi dedit Schnw., negat. Wil.¹ **1** | 478 δι᾽ Ἑλλάδος

---

* litterae cancellis inclusae desunt in lapide

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

103. (142) **a** Ἐξ οὗ γ᾽ Εὐρώπην Ἀσίης δίχα πόντος ἔνειμε
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐπέχει,
οὐδέν πω τοιοῦτον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
ἔργον ἐν ἠπείρωι καὶ κατὰ πόντον ἅμα.
5 οἵδε γὰρ ἐν Κύπρωι Μήδους πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας. μέγα δ᾽ ἔστενεν Ἀσὶς ὑπ᾽ αὐτῶι
πληγεῖς᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.

b Ἐξ οὗ τ᾽ Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινεν
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
ἔργον ἐν ἠπείρωι καὶ κατὰ πόντον ὁμοῦ.

---

exhibetur inter Simonidis epigrammata [**b**] Svid. s. u. ἀγοστῶι· [**b** 3] **102** Diod. 11, 33, 2 (a. a. Chr. n. 479) οἱ δ᾽ Ἕλληνες ἐκ τῶν λαφύρων δεκάτην ἐξελόμενοι κατεσκεύασαν χρυσοῦν τρίποδα καὶ ἀνέθηκαν εἰς Δελφοὺς χαριστήριον τῶι θεῶι ἐπιγράψαντες ἐλεγεῖον τόδε· [1. 2] **103** Diod. 11, 62, 3 ὁ δὲ δῆμος τῶν Ἀθηναίων δεκάτην ἐξελόμενος ἐκ τῶν λαφύρων ἀνέθηκε τῶι θεῶι καὶ τὴν ἐπιγραφὴν ἐπὶ τὸ κατασκευασθὲν ἀνάθημα ἐνέγραψε τήνδε· [**a**]. ταῦτα μὲν οὖν ἐπράχθη κατὰ τοῦτον τὸν ἐνιαυτόν (a. a. Chr. 469) Aristid.[1] or. 28, 63 s (II 161 s K.) ἆρά σοι καὶ τὰ τοιάδε δόξει ἀλαζονεία τις εἶναι; [88[c]] καί· [89], καὶ πάντα ἐκεῖνα καλλίω τῶν σῶν, οἶμαι, λόγων ἐπιγράμματα; καὶ ἔτι γε μᾶλλον· [**b**] [2]or. pro quatt. II 209 D. ὥστε τοῖς προτέροις ἔργοις ἐκπεπληγμένων τῶν ποιητῶν τοῖς ὅτ᾽ ἐπήιεσαν οἱ βάρβαροι πραχθεῖσιν, ὅμως τις ὕμνησεν αὐτῶν εἰς ταῦτα ὕστερον, οὐ πάντα, ἀλλὰ μιᾶς τινος ἡμέρας ἔργα· [**b**] ibid. 210 [**b** 3. 4] Schol. Aristid. III 209 D. (p. 70. 366 Fromm.) εἰς τὰς

εὐρυχόροιο epigr. ap. Athen. 12, 536[b] ἄρχων Ἑλλάδος εὐρυχόρου **2** cf. fr. 95[b], 2 s ῥυσάμενοι δουλοσύνας et fr. 119 cum adn. **103** cf. Ed. Meyer Forsch. 2, 9 ss Preger 269 Reitz. p. 114 s Boas p. 43 s 92 ss 104 ss 199 s 205 s 232 s 237 Hi. v. Gaertr. Epigr. 49 Preger 269 Seb. Wenz Studien zu att. Kriegergräbern, Diss. Monaster. 1913 p. 49 s L. Weber Phil. 74 (1917), 248 ss (qui carminibus sepulcralibus uindicauit) Wil. HD. 1, 128 adn. Domaszewski SB. Heidelb. 1914 Abh. 10 Wade-Gery Journ. Hell. Stud. 53 (1933) 82 ss E. Loewy SB. Wien 1937, 27 Friedl. St. It. Fil. Cl. 15 (1938) 102 ss **a c 1** (**a b 3** in.) = Tit. As. Min. ed. Kalinka I 44, 1 Geffck. 98, 1 (Xanthi in oppido Lyciae, saeculi V

οἵδε γὰρ ἐν γαίηι Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας. μέγα δ᾽ ἔστενεν Ἀσὶς ὑπ᾽ αὐτῶν
πληγεῖς᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.

c Ἐξ οὗ γ᾽ Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμε
καὶ πόλεμον λαῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδαμά πω κάλλιον ἐπιχθονίων γένετ᾽ ἀνδρῶν
ἔργον ἐν ἠπείρωι καὶ κατὰ πόντον ἅμα.
οἵδε γὰρ ἐν Κύπρωι Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας. μέγα δ᾽ ἔστεν[εν Ἀσὶς ὑπ᾽ αὐτῶν?]
πληγεῖς᾽ ἀμφοτέραις χερσὶ κράτει πολέμου.

104. (137) **a** Αἴδ᾽ ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιητᾶν
ἕσταςαν εὐχόμεναι Κύπριδι δαιμονίαι·
οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ᾽ Ἀφροδίτα
Μήδοις᾽ Ἑλλάνων ἀκρόπολιν δόμεναι.

αὐθημερὸν ταύτας νίκας Σιμωνίδης ὕμνησε λέγων· [**b**] A. P. 7, 296 Σιμωνίδου τοῦ Κηίου· εἰς τοὺς μετὰ Κίμωνος στρατευσαμένους ἐν Κύπρωι Ἀθηναίους, ὅτε τὰς ρ´ ναῦς τῶν Φοινίκων ἔλαβον· [**c**] **104** Schol. Pind. Ol. 13, 30 ss ‘ἐν δὲ Μοῖς᾽ ἀδύπνοος, ἐν δ᾽ Ἄρης ἀνθεῖ νέων οὐλίαις᾽ αἰχμαῖσιν ἀνδρῶν᾽. τὸν ‘Ἄρην᾽ φησὶν ἐν Κορίνθωι λάμπειν τείνων εἰς τὰ περὶ Περσίδα, ἐν οἷς ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας ἠνδρα-

---

ex., litteris στοιχηδὸν scr.) [ἐ]ξ οὗ τ᾽ Εὐρώπην [Ἀ]σίας δίχα πόν[τ]ος ἔνεμ[ε]ν, [ο]ὐδές πω Λυκίων στήλην το(ι)άνδε ἀνέθηκ(ε)ν κτέ. cf. IG II 555 Kai. Epigr. 844, ubi ad huius tituli exemplar leguntur 1 ἐξ οὗ, 2 καὶ, 3 οὐδεὶς . . . μείζονα **a** 1 cf. Enn. ann. 302 Hor. carm. 3, 3, 46 s Ἀσίας Kai. ἀσίης Ⓒ (**a b c**) **c** 1 εὐρώπαν ἀσίης A. P. **a** 2 πόλεας Diod. Ⓒ cf. Δ 308 Kai. Epigr. 759 **a b c** 2 θ. Ἄ. 116, 2 cf. Callin. 1, 4 **a** 3 οὐδὲ Diod. u. l. **a** 5 ἐλάσαντες Diod. pars Ⓒ

b c 3 καλλίων A. P. **c** 4 εὔεργον cod. Pal. m. pr. **a b c** 6 cf. 90 b c, 3 s 96, 6 **a b c** 7 Ω 776 ἐπὶ δ᾽ ἔστενε δῆμος **b** 7 ἔσθενεν Schol. Ⓒ **b** 8 ἀμφοτέραι χειρὶ Aristid.[1] **a b c** 8 cf. 107[a], 1 Νίκης κράτει ἔργωι Ἄρηος et 107[b], 1 ῥώμηι χερὸς ἔ. Ἄ. **104** cf. Wil. Commentariolum grammat. 4 GN l. c. 310 ss SS. 196 s Preger 68 Boas p. 47 ss 69 s 86 s 235. 237 **a** 1 ἀγχέμ. Hom.

b Αἴδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
ἑστάθεν εὐξάμεναι Κύπριδι δαιμονίαι·
οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ' Ἀφροδίτα
Μήδοις' Ἑλλάνων ἀκρόπολιν προδόμεν.

c Αἴδ' ὑπὲρ Ἑλλήνων τε καὶ εὐθυμάχων πολιητᾶν
ἑστάθεν εὔχεσθαι Κύπριδι δαιμονίαι·
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα
Πέρσαις' Ἑλλάνων ἀκρόπολιν προδόμεν.

